κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ
τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ
στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγού-
μενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν ἢ ἐξ Αἰγίνης
ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν
50 κατέλαβον· Ἀθηναῖοι δὲ τῶν μὲν απόντων, τῶν δ' ἐγγὺς
ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ' αὑτῶν
ψυχαῖς πιστεύσαντες καὶ τῶν ἐπιόντων καταφρονήσαντες
οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες ἠξίουν
51 αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, οἱ μὲν ἐμπειρίᾳ
τὴν ἀρετήν, οἱ δὲ φύσει κεκτημένοι· καὶ οἱ μὲν αὐτοὶ
πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δ' ἐκείνους μιμούμενοι,
τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεω-
52 τέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων, Μυρωνίδου
στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν
ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων τοῖς
ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν
σφετέραν ἐμβαλεῖν ἀξιώσαντας, εἰς τὴν ἀλλοτρίαν ἀπαν-
53 τήσαντες, τρόπαιον δὲ στήσαντες καλλίστου μὲν αὑτοῖς
ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς
σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφό-
τεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν
αὑτῶν ἀπελθόντες οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ
τῶν λοιπῶν ἐβουλεύοντο.

54 Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κιν-
δυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ
χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν
ἢ λόγος ἢ χρόνος ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν
55 τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων
γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων
κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγί-